ἀντία σεῖο πόληος ἔχω πτολίεθρον Ἀβύδου.
μοῦνον ἐμοὶ ἕνα λύχνον ἀπ᾽ ἠλιβάτου σέο πύργου
ἐκ περάτης ἀνάφαινε κατὰ κνέφας, ὄφρα νοήσας
ἔσσομαι ὁλκὰς Ἔρωτος, ἔχων σέθεν ἀστέρα λύχνον,
καί μιν ὀπιπεύων, οὐκ ὀψεδύοντα Βοώτην,
οὐ θρασὺν Ὠρίωνα καὶ ἄβροχον ὁλκὸν Ἀμάξης,
πατρίδος ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην.
ἀλλά, φίλη, πεφύλαξο βαρυπνείοντας ἀήτας,
μή μιν ἀποσβέσσωσι, καὶ αὐτίκα θυμὸν ὀλέσσω,
λύχνον, ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
εἰ ἐτεὸν δὲ θέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι,
οὔνομά μοι Λείανδρος, ἐυστεφάνου πόσις Ἡροῦς.᾽
ὣς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι,
καὶ νυχίην φιλότητα καὶ ἀγγελίην ὑμεναίων
λύχνου μαρτυρίῃσιν ἐπιστώσαντο φυλάσσειν,
ἡ μὲν φάος τανύειν, ὁ δὲ κύματα μακρὰ περῆσαι·
παννυχίδας δ᾽ ἀνέσαντες ἀκοιμήτων ὑμεναίων,
ἀλλήλων ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκῃ,
ἡ μὲν ἑὸν ποτὶ πύργον, ὁ δ᾽ ὀρφναίην ἀνὰ νύκτα
†μηδὲ παραπλάζοιτο, βαλὼν σημήια πύργῳ,†
πλῶε βαθυκρήπιδος ἐπ᾽ εὐρέα δῆμον Ἀβύδου.